Πιστεύω εἰς ἕνα Θεόν κ.τ.λ. Ἐπεί δέ ἀπό φυγῆς καί συναρπαγῆς καί ἀγνωσίας ἐχωρίσθην τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καί ἀποστολικῆς ἐκκλησίας καί ἀπῆλθον πρός τούς Λατίνους, νῦν ὑποστρέφω καθαρῶς καί γνησίως καί ἀποβάλλομαι πᾶσαν τήν δόξαν τῶν Λατίνων τήν περί τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος λεγόντων ὅτι καί ἐκ τοῦ υἱοῦ ἐκπορεύεται. πιστεύω γάρ καί ὁμολογῶ κατά τήν ἀπόφασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καί τοῦ συμβόλου ἐκ τοῦ πατρός ἐκπορευόμενον μόνου τό πνεῦμα τό ἅγιον· ἀποβάλλομαι δέ καί ἀναθεματίζω πάντα τά λοιπά ἔθιμα αὐτῶν, τά τε ἐκκλησιαστικά καί τά περί τῆς λοιπῆς αὐτῶν πολιτείας. ἐπεί δέ ὑποπτεύθην παρά τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας ὅτι εἰμί καί ἐγώ ὁμόφρων τῶν φρονούντων τά τοῦ Βαρλαάμ καί Ἀκινδύνου, λέγω καί περί τούτου, ὅτι τόν Βαρλαάμ καί τόν Ἀκίνδυνον καί πάντας τούς ὁμόφρονας αὐτῶν ὡς ἀποκηρυχθέντας καί ἀναθεματισθέντας παρά τῆς θείας καί ἱερᾶς συνόδου ὡς δυσσεβεῖς καί εὑρετάς καινῶν καί ἀλλοκότων αἱρέσεων, ἀναθεματίζω αὐτούς καί πάντα τά συγγράμματα αὐτῶν, στέργω δέ, ἅπερ ἡ ἁγία τοῦ Χριστοῦ καθολική καί ἀποστολική ἐκκλησία φρονεῖ καί λέγει περί αὐτῶν καί εἰμί καί ἐγώ εἷς τῶν ὀρθοδόξων χριστιανῶν καί μαθητής τῆς ἐκκλησίας καί εἰς τήν περί τούτων ἀσφάλειαν ἐποιησάμην καί τήν παροῦσαν ὁμολογίαν ὑπογράψας αὐτήν οἰκειοχείρως.

Μηνί Ἀπριλλίῳ ἰνδ. ιδ΄.

Ὁ ἐν μοναχοῖς ἐλάχιστος Θεοδώρητος.

(Act. patr. I, 501-502 (1361))